eul_wid: foq-ab

*Ἄμφις ὁ Κωμικός* · Amphis Comicus

# Comic Fragments on Life and Pleasure

*Ἀποσπάσματα περὶ Βίου καὶ Ἡδονῆς*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Εἶτ' οὐ γυναικός ἐστιν εὐνοϊκώτερον γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ' εἰκότως. ἡ μὲν νόμῳ γὰρ καταφρονοῦς' ἔνδον μένει, ἡ δ' οἶδεν ὅτι ἢ τοῖς

book 1.2 τρόποις ὠνητέος[ln_5]ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον.

book 1.1 Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης

book 1.2 παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης· ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς αὐτοῦ λέληθε

book 1.3 παραπλέων τὰς

book 1.4 συμφοράς.

book 2.1 Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, ἥκιστα

book 2.2 τούτοις

book 2.3 πλησιάζων ἥδεται.

book 1.1 Τὸ δ' ἀγαθὸν ὅ τι

book 1.2 ποτ' ἐστίν, οὗ σὺ τυγχάνειν μέλλεις διὰ ταύτην, ἧττον οἶδα

book 1.3 τοῦτ' ἐγώ, ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν· πρόσεχε δή.

book 1 Ἀνεβόης' ὕδωρ ἐνεγκεῖν θερμόν, ἄλλος μετάκερας.

book 1.1 Πῖνε, παῖζε· θνητὸς ὁ βίος, ὀλίγος οὑπὶ γῇ χρόνος· ἀθάνατος ὁ θάνατός ἐστιν, ἂν ἅπαξ

book 1.2 τις ἀποθάνῃ.

book 1.1 [spk_β]Ἤδη πότ' ἤκουσας βίον ἀληλεμένον; Β. ναί. Α. τοῦτ' ἐκεῖν' ἔστιν

book 1.2 σαφῶς· ἄμητες, οἶνος ἡδύς, ᾠά, σησαμαῖ, μύρον, στέφανος, αὐλητρίς. Β. ὦ Διοσκόρω, [ln_5]ὀνόματα τῶν δώδεκα θεῶν διελήλυθας.

book 2 Εὐρύβατε κνισολοιχέ, οὐκ ἔσθ' ὅπως οὐκ ὀλβιογάστωρ εἶ σύ.

book 1.1 Ὦ Πλάτων, ὡς οὐδὲν οἶσθα

book 1.2 πλὴν

book 1.3 σκυθρωπάζειν μόνον, ὥσπερ κοχλίας

book 1.4 σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

book 1.1 [spk_α]Α. Ἐγὼ δὲ τὸν γίγγραντα τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.2 σοφώτατον. Β. τίς δ' ἔσθ' ὁ γίγγρας; Α. καινὸν ἐξεύρημά τι ἡμέτερον, ὃ θεάτρῳ μὲν οὐδεπώποτε ἔδειξ', Ἀθήνησιν δὲ κατακεχρημένον

book 1.1 [ln_5][spk_β]ἐν

book 1.2 συμποσίοις ἤδη 'στί. Β. διὰ τί δ' οὐκ ἄγεις εἰς τὸν ὄχλον αὐτό; Α. διότι

book 1.3 φυλὴν

book 1.4 περιμένω

book 1.5 σφόδρα

book 1.6 φιλονεικοῦσαν λαχεῖν

book 1.7 τιν'· οἶδα γάρ ὅτι πάντα

book 1.8 πράγματ' ἀνατριαινώσει κρότοις.

book 2.1 Τί φῄς; σὺ ταυτὶ προσδοκᾷς

book 2.2 πείσειν ἐμέ, ὡς ἔστ' ἐραστής, ὅστις ὡραῖον

book 2.3 φιλῶν

book 2.4 τρόπων ἐραστής ἐστι, τὴν ὄψιν

book 2.5 παρείς; ἄφρων γ' ἀληθῶς. οὔτε

book 2.6 τοῦτο

book 2.7 πείθομαι,[ln_5]οὔθ' ὡς πένης ἄνθρωπος ἐνοχλῶν

book 2.8 πολλάκις

book 2.9 τοῖς εὐποροῦσιν οὐ λαβεῖν

book 2.10 τι βούλεται.

book 1 Γλαῦκοι δ' ὅλοι, ῥαχιστὰ κρανίων μέρη εὔσαρκα.

book 1.1 Εἶτ' οὐχὶ χρυσοῦν ἐστι

book 1.2 πρᾶγμ' ἐρημία; ὁ πατήρ γε

book 1.3 τοῦ ζῆν ἐστιν ἀνθρώποις ἀγρός, πενίαν

book 1.4 τε συγκρύπτειν ἐπίσταται μόνος, ἄστυ δὲ θέατρον ἀτυχίας

book 1.5 σαφοῦς γέμον.

book 2.1 Ὁ παῖς

book 2.2 σοβείτω

book 2.3 τοῖς

book 2.4 ποτηρίοις

book 2.5 συχνούς.

book 1.1 'Εν

book 1.2 ταῖς θριδακίναις

book 1.3 ταῖς κάκιστ' ἀπολουμέναις, ἃς εἰ φάγοι

book 1.4 τις ἐντὸς ἑξήκοντ' ἐτῶν, ὁπότε γυναικὸς λαμβάνοι κοινωνίαν, στρέφοιθ' ὅλην τὴν νύκτα, μηδὲ ἓν

book 1.5 πλέον[ln_5]ὧν βούλεται δρῶν, ἀντὶ τῆς ὑπουργίας τῇ χειρὶ τρίβων τὴν ἀναγκαίαν τύχην.

book 2.1 Ὅστις δὲ θνητὸς γενόμενος μὴ τῷ βίῳ ζητεῖ τι

book 2.2 τερπνὸν

book 2.3 προσφέρειν, τὰ δ’ ἄλλ’ ἐᾷ, μάταιός ἐστιν ἔν γ’ ἐμοὶ καὶ τοῖς

book 2.4 σοφοῖς κριταῖς ἅπασιν ἐκ θεῶν

book 2.5 τε δυστυχής.

book 3.1 Ὅστις κορακῖνον ἐσθίει θαλάττιον γλαύκου

book 3.2 παρόντος, οὗτος οὐκ ἔχει

book 3.3 φρένας.

book 1-2.1 Τυφλὸς ὁ Πλοῦτος εἶναί μοι δοκεῖ, ὅστις γε

book 1-2.2 παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται, παρὰ δὲ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ ἑτέραις

book 1-2.3 τε τοιαύταισι

book 1-2.4 παγίσι

book 1-2.5 τοῦ βίου[ln_5]ἔνδον κάθητ’ ἀπόπληκτος οὐδ’ ἐξέρχεται.

book 1 Ὅστις ἀγοράζων ὄψον, ἐξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν, ῥαφανῖδας ἐπιθυμεῖ πρίασθαι μαίνεται.

book 1.1 [spk_β]Ἐρίοισι

book 1.2 τοὺς

book 1.3 τοίχους κύκλῳ Μιλησίοις, ἔπειτ’ ἀλείφειν τῷ Μεγαλλίῳ μύρῳ, καὶ τὴν βασιλικὴν θυμιᾶτε μίνδακα. Β. Ἀκήκοας σὺ δέσποτ’ ἤδη πώποτε[ln_5]τὸ θυμίαμα

book 1.4 τοῦτο;

book 1.1 Εἰς τὴν ἑσπέραν

book 1.2 χορταζόμεσθα πᾶσιν ἀγαθοῖς.

book 1 Ἀτελές γε δεῖπνον οὐ ποιεῖ παροινίαν.

book 1.1 Πρὸς

book 1.2 τοὺς

book 1.3 στρατηγοὺς ῥᾷόν ἐστι μυρίαις μοίραις

book 1.4 προσελθόντ’ ἀξιωθῆναι λόγου, λαβεῖν τ’ ἀπόκρισιν ὧν ἂν ἐπερωτᾷ τις, ἤ πρὸς

book 1.5 τοὺς καταράτους ἰχθυοπώλας ἐν ἀγορᾷ·[ln_5]οὓς ἂν ἐπερωτήσῃ τις, ἢ λαβών

book 1.6 τι τῶν

book 1.7 παρακειμένων ἔκυψεν ὥσπερ Τήλεφος

book 1.8 πρῶτον

book 1.9 σιωπῇ (καὶ δικαίως

book 1.10 τοῦτό γε· ἅπαντες ἀνδροφόνοι γάρ εἰσιν ἑνὶ λόγῳ) ὡσεί τε

book 1.11 προσέχων οὐδὲν οὐδ’ ἀκηκοώς[ln_10]ἔκρουσε πώλυπόν

book 1.12 τιν’ ὁ δ’ ἐπρήσθη καί του λαβὼν ὅλα τὰ ῥήματ’, ἀλλὰ συλλαβὴν ἀφελών, τάρων βολῶν γένοιτ’ ἄν· ἡ δὲ κέστρα; κτὼ βολῶν·

book 1 τοιαῦτ’ ἀκοῦσαι δεῖ τὸν ὀψωνοῦντά τι.

book 2.1 Παραδεδειπνημένοι

book 2.2 παῖδες πάλαι.

book 1.1 Κατὰ πόλλ’ ἐπαινῶ μᾶλλον ἡμῶν τὸν βίον τὸν τῶν

book 1.2

φιλοποτῶν ἤπερ ὑμῶν τῶν μόνον ἐν τῷ μετώπῳ νοῦν ἔχειν εἰωθότων. ἡ μὲν γὰρ ἐπὶ τοῦ συντετάχθαι διὰ τέλους[ln_5]φρόνησις οὖσα, διὰ τὸ λεπτῶς καὶ πυκνῶς πάντ’ ἐξετάζειν δέδιεν ἐπὶ τὰ πράγματα ὁρμᾶν

book 1.3 προχείρως, ἡ δὲ διὰ τὸ μὴ σαφῶς τί ποτ’ ἀφ’ ἑκάστου

book 1.4 πράγματος

book 1.5 συμβήσεται διαλελογίσθαι δρᾷ τι καὶ νεανικόν[ln_10]καὶ θερμόν.

book 2.1 Ἄπολλον, ὡς δυσάρεστόν ἐστ’ ἀνιώμενος ἄνθρωπος ἐφ’ ἅπασίν

book 2.2 τε δυσχερῶς ἔχει.

book 1.1 Ἔχειν καθαρίως ἐγχελύδιόν

book 1.2 τι καί γλαυκινιδίου κεφάλαια καὶ λαβρακίου

book 1.3 τεμάχια.

book 1.1 [spk_β]Ποδαπὸς σύ; φράσον. Β. Ἀκάνθιος. Α. εἶτα

book 1.2 πρὸς[ln_1]θεῶν οἴνου

book 1.3 πολίτης ὢν κρατίστου

book 1.4 στρυφνὸς εἶ, καὶ τοὔνομ’ αὐτὸ τῆς

book 1.5 πατρίδος ἐν

book 1.6 τοῖς

book 1.7 τρόποις ἔχεις, τὰ δ’ ἤθη τῶν

book 1.8 πολιτῶν οὐκ ἔχεις;

book 2.1 Οὐκ ἔστιν, ὡς ἔοικε, φάρμακον μέθης οὐδὲν

book 2.2 τοσοῦτον ὡς τὸ προσπεσεῖν ἄφνω λύπην τίν’. οὕτως ἐξελαύνει γὰρ

book 2.3 ταχύ, σφόδρα λῆρον ὥστε τὰς ῥαφάνους ὄντως δοκεῖν.

book 3.1 Ἀσυμβόλου δείπνου γὰρ ὅστις ὑστερεῖ, τοῦτον

book 3.2 ταχέως νόμιζε καὶ τάξιν λιπεῖν.

book 4.1 Ἐν Θουρίοις

book 4.2 τοὔλαιον, ἐν Γέλᾳ φακοί, Ἰκάριος οἶνος, ἰσχάδες Κιμώλιαι.

book 5 Ἐνῆν ἄρ’, ὡς ἔοικε, κἀν οἴνῳ λόγος, ἔνιοι δ’ ὕδωρ πίνοντές εἰς’ ἀβέλτεροι.

book 6.1 Ὁ συκάμινος

book 6.2 συκάμιν’, ὁρᾷς, φορεῖ, ὁ πρῖνος ἀκύλους, ὁ κόμαρος μιμαίκυλα, κράνεια μέσπιλα.

book 7 Πίνους’ ἑκάστης ἡμέρας δι’ ἡμέρας.

book 8.1 Ὅστις γὰρ ὀμνύοντι μηδὲν

book 8.2 πείθεται, αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

book 9.1 Οὐκ ἔστι κρεῖττον

book 9.2 τοῦ σιωπᾶν οὐδὲ ἕν.

book 10.1 Οὐχ ὑποστρώσεις

book 10.2 ποτέ τρίκλινον;